## 1. Ερωτική ποίηση στον «κύκλο του Αγαθία» (εποχή Ιουστιανιανού = 6ος αι.)

(έκδ. Beckby)

**I. Ιουλιανός από υπάτων**

Ἱμερτὴ Μαρίη μεγαλίζεται· ἀλλὰ μετέλθοις
   κείνης, πότνα Δίκη, κόμπον ἀγηνορίης·
μὴ θανάτῳ, βασίλεια· τὸ δ’ ἔμπαλιν, ἐς τρίχας ἥξοι
   γήραος, ἐς ῥυτίδας σκληρὸν ἵκοιτο ῥέθος·
τίσειαν πολιαὶ τάδε δάκρυα· κάλλος ὑπόσχοι
   ψυχῆς ἀμπλακίην, αἴτιον ἀμπλακίης.

**II. Λεόντιος ο σχολαστικός**

*Εἰς εἰκόνα ὀρχηστρίδος*

Μουσάων δεκάτη, Χαρίτων Ῥοδόκλεια τετάρτη,
   τερπωλὴ μερόπων, ἄστεος ἀγλαΐη,
ὄμμα δέ οἱ καὶ ταρσὰ ποδήνεμα καὶ σοφὰ χειρῶν
   δάκτυλα καὶ Μουσῶν κρέσσονα καὶ Χαρίτων.

**III. Αγαθίας ο σχολαστικός**

Εἰμὶ μὲν οὐ φιλόοινος· ὅταν δ’ ἐθέλῃς με μεθύσσαι,
   πρῶτα σὺ γευομένη πρόσφερε καὶ δέχομαι.
Εἰ γὰρ ἐπιψαύσεις τοῖς χείλεσιν, οὐκέτι νήφειν
   εὐμαρὲς οὐδὲ φυγεῖν τὸν γλυκὺν οἰνοχόον·
πορθμεύει γὰρ ἔμοιγε παρὰ σοῦ τὸ φίλημα
   καί μοι ἀπαγγέλλει τὴν χάριν, ἣν ἔλαβεν.

**IV. Μακηδόνιος ύπατος**

*Ἐπὶ γυναικὶ παλιμβούλῳ*

«Αὔριον ἀθρήσω σε». Τὸ δ’ οὔ ποτε γίνεται ἡμῖν,
ἠθάδος ἀμβολίης αἰὲν ἀεξομένης.
Ταῦτά μοι ἱμείροντι χαρίζεαι· ἄλλα δ’ ἐς ἄλλους
δῶρα φέρεις, ἐμέθεν πίστιν ἀπειπαμένη.
«Ὄψομαι ἑσπερίη σε». Τί δ’ ἕσπερός ἐστι γυναικῶν;
γῆρας ἀμετρήτῳ πληθόμενον ῥυτίδι.

## Αρχαία ερωτικά επιγράμματα

**V. Ασκληπιάδης (3ος αι. π.Χ.)**

[Η δύναμη του έρωτα]

Ἡδὺ θέρους διψῶντι χιὼν ποτόν, ἡδὺ δὲ ναύταις
ἐκ χειμῶνος ἰδεῖν εἰαρινὸν Στέφανον·
ἥδιον δ’ ὁπόταν κρύψῃ μία τοὺς φιλέοντας
χλαῖνα, καὶ αἰνῆται Κύπρις ὑπ’ ἀμφοτέρων.

**VI. Ρουφίνος (2ος-4ος αι. μ.Χ.)**

[Ο χρόνος και το γήρας τιμωρούν την έπαρση]

Οὐκ ἔλεγον, Προδίκη, γηράσκομεν; οὐ προεφώνουν
«ἥξουσιν ταχέως αἱ διαλυσίφιλοι»;
νῦν ῥυτίδες καὶ θρὶξ πολιὴ καὶ σῶμα ῥακῶδες·
καὶ στόμα τὰς προτέρας οὐκέτ’ ἔχον χάριτας.

μή τίς σοι, μετέωρε, προσέρχεται ἢ κολακεύων
λίσσεται; ὡς δὲ τάφον νῦν σε παρερχόμεθα.

## 2. Ιωάννης Γεωμέτρης (10ος αι.)

(έκδ. Τωμαδάκη – πλην π. 227)

### I. (210)

Οἴμοι, καθ’ ἡμῶν καὶ πάλιν τὰ πυρφόρα
πέμπει φλογίζων καρδιῶν ὁ τοξότης
βέλη τὰ πικρὰ καὶ μέλιτος ἡδίω,
βέλη τὰ δεινὰ καὶ ποθεινά· τῇ νόσῳ
ἕστηκα βληθείς, ἐξερύσαι δ’ οὐ θέλω·
ὠθῶ καθ’ αὑτοῦ τὸ ξίφος, θανεῖν θέλω·
ποθῶ φλέγεσθαι, τραυματίζεσθαι πλέον.
ὢ δεινὰ δεινῶν, ποῖον ὕδωρ τὴν φλόγα
σβέσει; τὸ πικρὸν ποῖος ἑλκύσει βέλος;
ὕδωρ τὸ σὸν ζῶν, Χριστέ μου, καὶ σὸς λόγος.
χρῆσαι, λυτρωτά, συντόμως τοῖς φαρμάκοις.

### II. *Περὶ γυναικὸς* (225)

Θάλασσα καὶ πῦρ καὶ γυνὴ κακὸν τρίτον·
ἐγὼ δέ φημι πρῶτον ἡ κακὴ κακῶν,
τῆς δ’ αὖ καλῆς κάλλιστον οὐδὲν ἐν βίῳ.

**II. Εἰς σαρκικὸν ἔρωτα (227· ἐκδ. van Opstall)**

Εἰς πυρὶ πῦρ ἐπάγεις βρόμιον, μάλα πολλὸν ἀνάπτεις·
εἰ δὲ πόθῳ σαρκὸς θεῖον, ἀποσβεννύεις.

**III. (228)**

Ἔρως ὁ δεινὸς ἐκτυφλοῖ μου τὰς φρένας,
ἀλλ’ αἰθριάζει σὸς πόθος με, Χριστέ μου.

**IV. *Ὡς ἔκ τινος κόρην αἰτησαμένου ὕδωρ καὶ ἐρασθέντος αὐτῆς* (299)**

Ὢ πικρὸν ὕδωρ· δὶς πίων καὶ πολλάκις,
ἄπαυστα διψῶ. ποῖον ὕδωρ τοῦτό γε,
ὃ πῦρ ἀνάπτει καὶ φλέγει τὴν καρδίαν;
δαλὸς κέκρυπτο τῶν ἐρώτων· ὢ τάλας,
τί καὶ δράσω νῦν; ἀλλὰ τῶν σῶν χειλέων
πιεῖν, κόρη, δός· ἀλλὰ πόρρωθεν φλέγεις.
πῶς φλογμὸν οἴσω τοῦ πάθους προσεγγίσας;
ἓν εἶδον εὑρεῖς τῆσδε τῆς δίψης ἄκος·
ἔρως ἔρωτι παύεται φλογωτέρῳ·
ἔρως ἔρωτα σβεννύει μείζων μέγαν·
σοῦ, Χριστέ μου, σοῦ δράσσομαι· σύ μοι δίδου
ὕδωρ τὸ σὸν ζῶν, τοῦτο παύσει τὴν φλόγα.

### **3. Συμεών ο Νέος Θεολόγος (τέλη 10ου-αρχές 11ου αι.)**

(έκδ. Kambylis)

**I.** ***Τοῦ αὐτοῦ τετράστιχα τὸν πρὸς θεὸν αὐτοῦ ἐντεῦθεν δεικνύοντα ἔρωτα*** **(π. 6)**

Πῶς καὶ πῦρ ὑπάρχει βλύζον,
πῶς καὶ ὕδωρ ᾖς δροσίζον;
πῶς καὶ καίεις καὶ γλυκαίνεις,
πῶς φθορὰν ἐξαφανίζεις;

πῶς θεοὺς ποιεῖς ἀνθρώπους,
πῶς τὸ σκότος φῶς ἐργάζῃ;
πῶς ἀνάγεις ἐκ τοῦ ᾄδου,
πῶς θνητοὺς ἐξαφθαρτίζεις;

πῶς πρὸς φῶς τὸ σκότος ἕλκεις,
πῶς τὴν νύκτα περιδράσσῃ;
πῶς καρδίαν περιλάμπεις,
πῶς μὲ ὅλον μεταβάλλεις;

πῶς ἑνοῦσαι τοῖς ἀνθρώποις,
πῶς υἱοὺς θεοῦ ἐργάζῃ;
πῶς ἐκκαίεις σου τῷ πόθῳ
πῶς τιτρώσκεις ἄνευ ξίφους;

πῶς ἀνέχῃ, πῶς βαστάζεις,
πῶς εὐθὺς οὐκ ἀποδίδως;
πῶς ὑπάρχων ἔξω πάντων
βλέπεις πάντων τὰ πρακτέα;

πῶς μακρὰν ἡμῶν τυγχάνων
καθορᾷς ἑκάστου πράξιν;
δὸς ὑπομονὴν σοῖς δούλοις,
μὴ καλύψῃ τούτους θλῖψις.

**II.** ***Εὐχαριστία σὺν θεολογίᾳ. Καὶ περὶ ὧν ἡ θεία χάρις τοῦ πνεύματος διὰ τῶν ἐνεργειῶν ὠνόμασται*** **(π. 22· απόσπασμα)**

Τί τὸ καινὸν μυστήριον, δέσποτα τῶν ἁπάντων,
ὃ εἰς ἐμὲ τὸν ἄσωτον ἐπεδείξω καὶ πόρνον;
τί τὸ κατανοούμενον μέγα θαῦμα ἐντός μου
καὶ μὴ περινοούμενον, ἀλλὰ κεκαλυμμένον;
ὡς ἄστρον γὰρ ὁρᾶταί μοι ἀνατέλλον μακρόθεν
καὶ πάλιν ὥσπερ ἥλιος μέγας ἀποτελεῖται,
μὴ ἔχων μέτρον ἢ σταθμὸν ἢ ὅρον τῷ μεγέθει,
καὶ αἴγλη γίνεται μικρὰ καὶ φλὸξ πάλιν ὁρᾶται
μέσον ἐν τῇ καρδίᾳ μου καὶ τοῖς ἐμοῖς ἐγκάτοις
περιστρεφόμενον συχνῶς καὶ περιφλέγον πάντα
τὰ ἔνδοθεν τῶν σπλάγχνων μου καὶ φῶς ταῦτα ποιοῦντα
καὶ οὑτωσὶ φθεγγόμενον καὶ φιλικῶς διδάσκων
ἀπορουμένῳ παντελῶς καὶ μαθεῖν ἐκζητοῦντι:
«ἐγὼ τὸ ἄστρον τὸ γλυκύ, ὅπερ ποτὲ ἀκούεις
ἀνατελεῖν ἐξ Ἰακώβ, ὑπάρχω, μὴ διστάσῃς,
καὶ ἥλιός σοι δείκνυμαι μακρόθεν ἀνατέλλων,
ὃ τοῖς δικαίοις ἅπασι φῶς ἀπρόσιτον εἶναι
ἐν τῇ μελλούσῃ βιοτῇ καὶ ζωῇ αἰωνίᾳ·
ἐγὼ καὶ αἴγλη δείκνυμαι καὶ φλόξ σοι καθορῶμαι
ἀκαταφλέκτως φλέγω σου τὰ πάθη τῆς καρδίας
καὶ δροσισμῷ γλυκύτητος καὶ χάριτός μου θείας
ἀποπλύνων τὸν ῥύπον σου καὶ εἰς ἅπαν σβεννύων
ἄνθρακας τοὺς τοῦ σώματος, ἡδονῶν ἁμαρτίας,

καὶ πάντα ἐργαζόμενος ἐμῇ φιλανθρωπίᾳ,
ἃ καὶ πάλαι πεποίηκα ἐν πᾶσι τοῖς ἁγίοις».

## 4. Έκφραση ερωτικού συναισθήματος και πόθου
## (5ος / 6ος αι. – 12ος αι.)

### I. Μουσαίος – *Τὰ καθ’ Ἡρὼ καὶ Λέανδρον* (5ος / 6ος αι.· έκδ. Orsini)

[Μιλά ο Λέανδρος. Ο ερωτευμένος νέος ορκίζεται να κολυμπά κάθε βράδυ από την πόλη του, Άβυδο, στην πόλη της αγαπημένης του Ηρούς, Σηστό. Η Ηρώ πρέπει μόνο να κρατά αναμμένο τον λύχνο στο μπαλκόνι της για να βρίσκει εκείνος τον δρόμο]

«Παρθένε, σὸν δι’ ἔρωτα καὶ ἄγριον οἶδμα περήσω,
εἰ περιπαφλάζοιτο καὶ ἄπλοον ἔσσεται ὕδωρ·
οὐ τρομέω βαρὺ χεῦμα, τεὴν μετανεύμενος εὐνήν,
οὐ βρόμον ἠχήεντα περιπτώσσοιμι θαλάσσης.
Ἀλλ’ αἰεὶ κατὰ νύκτα φορεύμενος ὑγρὸς ἀκοίτης,
νήξομαι Ἑλλήσποντον ἀγάρροον· οὐχ ἕκαθεν γὰρ
ἀντία σεῖο πόληος ἔχω πτολίεθρον Ἀβύδου.
Μοῦνον ἐμοί τινα λύχνον ἀπ’ ἠλιβάτου σεο πύργου
ἐκ περάτης ἀνάφαινε κατὰ κνέφας· ὄφρα νοήσας
ἔσσομαι ὁλκὰς Ἔρωτος, ἔχων σέθεν ἀστέρα λύχνον
καί μιν ὀπιπεύων, οὐκ ὀψὲ δύοντα Βοώτην,
οὐ θρασὺν Ὠρίωνα καὶ ἄβροχον ὁλκὸν Ἀμάξης,
πατρίδος ἀντιπόροιο ποτὶ γλυκὺν ὅρμον ἱκοίμην.
Ἀλλά, φίλη, πεφύλαξο βαρυπνείοντας ἀήτας,
μή μιν ἀποσβέσσωσι, καὶ αὐτίκα θυμὸν ὀλέσσω,
λύχνον, ἐμοῦ βιότοιο φαεσφόρον ἡγεμονῆα.
Εἰ δ’ ἐτεόν γ’ ἐθέλεις ἐμὸν οὔνομα καὶ σὺ δαῆναι,
οὔνομά μοι Λείανδρος, ἐυστεφάνου πόσις Ἡροῦς».

**II. Νικήτας Ευγενειανός – *Δροσίλλα καὶ Χαρικλέας* (έκδ. Conca)**

[Λόγος Ι: Η αιχμάλωτη παρθένα Δροσίλλα, ερωτευμένη και «λογοδοσμένη» με τον Χαρικλέα, επίσης αιχμάλωτο στην απέναντι φυλακή, στοχάζεται δύσθυμη πάνω στον έρωτά τους – μελετάμε από τον στ. 321]



καὶ χθὲς σὺν αὐτῷ τὴν φυλακὴν εἰσέδυν -
ἐχρῆν, Χαρίκλεις, κἂν τοσοῦτον ἡ Τύχη
ἀντιστρατεύῃ πρὸς διάστασιν φίλων
καὶ μηχανᾶται συμμερισμὸν τῶν δύο,
ἀγωνιᾷ δέ, φεῦ, διασπᾶν εἰς τέλος
τοὺς εἰς ἓν ἐμπνέοντας ἀλληλεγγύως,
μὴ καταπίπτειν, μηδὲ λήθῃ διδόναι,
ἀλλὰ πρὸς αὐτὴν τὴν παλαμναίαν Τύχην
ἀλκὴν μεγίστην ἐνδιδύσκεσθαι πλέον.
Σὺ δ' ἀλλ' ἐφυπνοῖς καὶ Δροσίλλαν οὐ στένεις,
ἡ δὲ στενάζει καὶ θεοὺς μαρτύρεται
διαρραγῆναι μηδαμῆ Χαρικλέος.
Κισσὸς γὰρ εἰς δρῦν δυσαποσπάστως ἔχει·
ἐθίζεται γὰρ συμπλοκαῖς ταῖς ἐκ νέου
καὶ σωματοῦται καὶ δοκεῖ πεφυκέναι
ἓν σῶμα, διπλῆν τὴν ἐνέργειαν φέρον·
οὕτω Δροσίλλα πρὸς Χαρικλῆν νυμφίον
ἓν σῶμα καὶ φρόνημα καὶ ψυχὴ μία,
κἂν χθὲς τραπέζης κειμένης ὁ Κρατύλος
ἔκδηλος ἦν ἔρωτα δεινὸν ἐκτρέφων

**314-5** cf. Pisid. Exp. Pers. 3.449 φίλους διαιρῶν καὶ μερίζων τὴν σχέσιν ‖ **317** ἀλληλεγγύως: cf. Theod. Prodr. RD 4.2 ‖ **320** ἐνδιδύσκεσθαι: cf. Pisid. Hex. 1313 ‖ **322** E. Med. 22 πίστιν μεγίστην καὶ θεοὺς μαρτύρεται ‖ **324** cf. E. Hec. 398 ὁποῖα κισσὸς δρυός, ὅπως τῆσδ' ἕξομαι; δυσαποσπάστως ἔχει: cf. [Pl.] Ax. 365 B ‖ **326** cf. Pisid. Hex. 1336 et 669 ‖ **329** cf. Sept. Ge. 2.24 καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν, Act. Ap. 4.32 ἦν καρδία καὶ ψυχὴ μία, Ioann.Geom. PG. 106.979 A καὶ θαῦμα πῶς ἓν σῶμα καὶ ψυχὴ μία

**314** πρὸς - φίλων] καὶ διασπᾷ τοὺς δύο **MPBo$^{1}$** // **315** συμμερίζειν εἰς τέλος **MBo$^{1}$** καὶ μερίζει εἰς τέλος **P** // **316** om. **MPBo$^{1}$** // **317** ἀλληλεγγύους **P** // **318** λητοῖ **PUL** // **319** παλαμναίαν] στρατεύουσαν **MPBo$^{1}$** // **321** Δροσίλλαν (-λλην **P**) οὐ στένεις **MPBo$^{1}$**: Δροσίλλας λανθάνῃ **UL** (Δροσίλλ compend. **L**) Δροσίλλης λ. **Bo$^{2}$He** // **323** διαρραγῆναι] καταφρονῆσαι **P** ὡς ἀμελήσει μηδαμοῦ Χαρικλέος **MBo$^{1}$** // **324** κιττὸς **He** // **325** ἐκθίζεται **P** // **327** ἓν - φέρον] συμφυῖα σύσσωμος ἐκ ῥιζῶν δύο **UL**

καὶ βάσκανόν μοι βλέμμα δεικνύειν θέλων.
Ὤμοι, Χαρίκλεις, κλῆσις ἡ φιλητέα,
πῶς αἱ καθ' ἡμᾶς συμφοραὶ σχοῖεν τέλος;
Ὡς νῦν ἐγώ, σοῦ κἂν διῄρημαι, κρίνω
μικρὸν παρηγόρημα τὸ βλέπειν μόνον
καὶ τὴν φυλακὴν ἧς κατεκλείσθης ἔσω
- ναὶ τοῦτο μικρόν - καὶ τὸ πάντως εἰδέναι
ποῦ νῦν διάγεις, ποῦ καθεύδεις, ποῦ κάθῃ.
Ἄφες τὸν ὕπνον, εἴπερ ὑπνώττειν ἔχεις·
γνῶθι Δροσίλλαν· σὲ στενάζει, σὲ κλάει·
σύγκλαιε, συστέναζε, συγκατηφία.
Ἦ που, Χαρίκλεις, οὐκ ἀπὸ δρυῶν ἔφυς·
καὶ σὲ στενάζειν ἐννοῶ καὶ δακρύειν
καὶ μὴ διυπνώττειν σε νυκτὸς ἐν μέσῳ
πολλὰ Δροσίλλας παρθένου μεμνημένον.
Ὦ δεῦρο, μικρόν, Ὕπνε, συγκάτασχέ με,
εἴ που φανεὶς ὄνειρος ἐγκαθηδύνει,
ἐμοὶ παριστῶν τὸν φίλον Χαρικλέα·
οἱ γὰρ ποθοῦντες ἢ φιλοῦντες πολλάκις

**333** Theod. Prodr. RD 6.265 ὤμοι, Ῥοδάνθη, κλῆσις ἠγαπημένη ‖ **340** Theodos. Diac. Exp. Cret. 1.220 ‖ **343** Od. 19.163 οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ' ἀπὸ πέτρης, AP 10.55.2-3 Pall., Const. Manass. AK 1.17.2-3, 2.42.6, 4.71.8, Theod. Prodr. RD 8.95-6 οὐ πέτρας ἔφυν, / οὐ δρῦς με παρήνεγκεν εἰς φῶς εἰς βίον. ‖ **347-9** cf. AP 5.237.11-2 Agath. βαιὸν ἵνα κνώσσοιμεν· ἴσως δέ τις ἥξει ὄνειρος, / ὅς με Ῥοδανθείοις πήχεσιν ἀμφιβάλοι ‖ **349** (1.252) ‖ **350-2** cf. Ach. Tat. 1.6.5, Longus 2.10.1, Heliod. 3.5.1, Eust. Macremb. 3.5.1.

**332** δεικνύειν ὦπα **M** // **333** μοι L - φιλητέα] κεχαρμένη **UL** // **334** πέρας **PUL** // **335** σοι **M** // **337** ἐνεκλείσθης **PUL** // **341** σὲ[2]] καὶ **M** - κλάει **M** ut vid., He: κλαίει **PULBo** // **343** εἴ **M** // **345** νυκτὸς ἐν μέσῳ Bo[1]: νυκτὸς ἐμμέσω **P** νυξὶν ἐν μέσαις **ULBo[2]**He νυκτὸς ἐν μέσῃ **M** // **346** πολλὰ] μικρὰ **UL** // **347** ὦ corr. Bo -μικρόν **UL**, ut iam coniecerat Bo[1]. Comm. 79: λοιπὸν **M** μακρὸν **P** edd. - συγκάτεσχε **P** συγκάτεχε Bo[1] // **348** ἦ που **UL** ἤ που **P** - ἐγκαθηδύνη **P** // **349** καλὸν **UL** // **350** φιλοῦντες καὶ (οἱ **P**) ποθοῦντες inv. ord. **PUL**

θέλουσιν, οὐ βλέποντες ἀλλήλους ὕπαρ,
ἐν τοῖς ὀνείροις συλλαλεῖν καὶ συμπνέειν».
Οὕτω λεγούσης τῆς Δροσίλλας παρθένου,
καταστεναζούσης δὲ καὶ γοωμένης,
τοῖς αἰχμαλώτοις ἀντεπῆλθεν ἡμέρα
τοῖς ἐν φυλακῇ δυστυχῶς κοιμωμένοις,
κἂν καὶ τὸ ταύτης ὡς βαθύτατον σκότος
κατακρατοῦν ἦν καὶ ζοφοῦν τὴν ἡμέραν.

**351** ὕπαρ· φανερῶς **P**

**351** θέλωσι **P** - οὐ] οἱ **U** // **354** καταστεναζούσης - γοωμένης **MPBo$^{1}$**: καὶ νυκτερινὸν ἐκτραγῳδούσης γόον / καταστεναζούσης - γοωμένης **UL** καὶ - γόον tantum **Bo$^{2}$He** // **356** κοιμωμένοις **UL**: κεκλεισμένοις (-ης **P**) **MP** edd. // **357** τοσαύτης **M Bo$^{1}$** - βαθύτατον] βαθὺ λάκκον **M** // **358** ζοφοῦν **MPBo$^{1}$**: γνοφοῦν **ULBo$^{2}$He**

# ΒΙΒΛΙΟΓΡΑΦΙΑ

-H.-G. Beck, *Βυζαντινόν ερωτικόν*, μτφρ. Ι Δημητρούκας, Αθήνα 1999, σ. 128-147 [**Για τον «κύκλο του Αγαθία»**]

[Ρέθυμνο-Κεντρ. Β Κύρια συλλογή HQ458 .B43 1999b]

-Θ. Δετοράκης, *Βυζαντινή Φιλολογία. Τα πρόσωπα και τα κείμενα*, Ηράκλειο Κρήτης – Αθήνα 1995-2018 (3 τόμοι) [**Γενικές πληροφορίες για τα κείμενα**]

[Ρέθυμνο-Κεντρ. Β Κύρια συλλογή PA5204 D4 1995

Ρέθυμνο-Κεντρ. Β Αντίτυπα Ευδόξου (Κύρια συλ.) PA5204 D4 2011]

-Α. Θ. Κομίνης, *Τὸ βυζαντινὸν ἱερὸν ἐπίγραμμα καὶ οἱ ἐπιγραμματοποιοί* («Ἀθηνᾶ». Σύγγραμμα περιοδικὸν τῆς ἐν Ἀθήναις ἐπιστημονικῆς ἑταιρείας. Σειρὰ διατριβῶν καὶ μελετημάτων 3), Αθήνα 1966 [**Γενικά για το βυζαντινό επίγραμμα**]

[Ρέθυμνο-Κεντρ. Β Κύρια συλλογή PA5275 K65 1966]

-Α. Μαρκόπουλος (επιμ.), *Τέσσερα κείμενα για την ποίηση του Συμεών του Νέου Θεολόγου*, Αθήνα 2008 [**Γενικά για την ποίηση του Συμεών**]

[Ρέθυμνο-Κεντρ. Β Κύρια συλλογή PA5471 S8 T49 2008]

-Β. Τατάκης, *Χριστιανική και βυζαντινή φιλοσοφία*, Αθήνα 2007, κεφ. «Ο βυζαντινός μυστικισμός», σ. 121-179 [**σ. 138-159 για Συμεών τον Νέο Θεολόγο**]

[Ρέθυμνο-Κεντρ. Β Κύρια συλλογή B721 T83 2007]

-M. Tomadaki, «The reception of ancient Greek literature in the iambic poems of John Geometres», στο: A. Rhoby – N. Zagklas (επιμ.), *Middle and late byzantine poetry: Texts and contexts* (Βυζάντιος 14), Turnhout 2018, 73-95

[Ρέθυμνο-Κεντρ. Β Κύρια συλλογή PA5211 M53 2018]